Jocasta tells how Laius had his child exposed.

καλοῦσι δ' Ἰοκάστην με· τοῦτο γὰρ πατὴρ
ἔθετο. γαμεῖ δὲ Λάιός μ'· ἐπεὶ δ' ἄπαις
ἦν χρόνια λέκτρα τἄμ' ἔχων ἐν δώμασιν,
ἐλθὼν ἐρωτᾷ Φοῖβον ἐξαιτεῖ θ' ἅμα
παίδων ἐς οἴκους ἀρσένων κοινωνίαν.
ὃ δ' εἶπεν· ὦ Θήβαισιν εὐίπποις ἄναξ,
μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ·
εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φύς,
καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος.
ὃ δ' ἡδονῇ δοὺς ἔς τε βακχείαν πεσὼν
ἔσπειρεν ἡμῖν παῖδα· καὶ σπείρας βρέφος
γνοὺς τἀμπλάκημα τοῦ θεοῦ τε τὴν φάτιν,
λειμῶν' ἐς Ἥρας καὶ Κιθαιρῶνος λέπας
δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος,
σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον·
ὅθεν νιν Ἑλλὰς ὠνόμαζεν Οἰδίπουν.

Euripides Phoenissae 12-27

1B 2 2008

ἄλοξ, -οκος, ἡ - furrow
ἀμπλάκημα, -τος, τό - error, fault
λέπας, τό - bare rock
σφυρόν, -οῦ, τό - ankle
κέντρον, -ου, τό - spike
Οἰδίπους ie. 'the swollen-footed'